θεῶν ἅπασι πρὸς δαιμόνων ἐπισκήπτων· εἰ φανείην ἐγὼ
πονηρὸς περὶ ὑμᾶς, ἀποκτείνατε, μὴ φείσησθ' ἡμῶν· τὸ
δὲ λοιπόν, ὦ ἄνδρες ἀγαθοί, πρὸς τὸ συμπεσὸν ἀντι-
τάξασθε, μὴ πρόησθε τὰ σώματα διαφθεῖραι τοῖς
C ἐχθίστοις ἀνάνδρως καὶ ἀκλεῶς, ἀλλ' ἀμύνασθε τὰς
ψυχὰς ἀηττήτους τῇ πατρίδι φυλάττοντες.' ταῦτα τοῦ
Χάρωνος λέγοντος τὸ μὲν φρόνημα καὶ τὴν καλοκἀγαθίαν
ἐθαυμάζομεν, πρὸς δὲ τὴν ὑποψίαν ἠγανακτοῦμεν καὶ
ἀπάγειν ἐκελεύομεν τὸν παῖδα. 'τὸ δ' ὅλον' εἶπεν ὁ Πελο-
πίδας 'οὐδ' εὖ βεβουλεῦσθαι δοκεῖς ἡμῖν, ὦ Χάρων, μὴ
μεταστησάμενος εἰς οἰκίαν ἑτέραν τὸν υἱόν· τί γὰρ αὐτὸν
δεῖ κινδυνεύειν μεθ' ἡμῶν ἐγκαταλαμβανόμενον; καὶ νῦν
ἐκπεμπτέος, ἵν' ἡμῖν, ἐάν τι πάσχωμεν, εὐγενὴς ὑπο-
τρέφηται τιμωρὸς ἐπὶ τοὺς τυράννους.' 'οὐκ ἔστιν' εἶπεν
ὁ Χάρων, 'ἀλλ' αὐτοῦ παραμενεῖ καὶ κινδυνεύσει μεθ'
D ὑμῶν· οὐδὲ γὰρ τούτῳ καλὸν ὑποχείριον γενέσθαι τοῖς
ἐχθροῖς, ἀλλὰ τόλμα παρ' ἡλικίαν, ὦ παῖ, γενόμενος ἄθ-
λων ἀναγκαίων καὶ κινδύνευε μετὰ πολλῶν καὶ ἀγαθῶν
πολιτῶν ὑπὲρ ἐλευθερίας καὶ ἀρετῆς· πολλὴ δ' ἐλπὶς
ἔτι λείπεται, καί πού τις ἐφορᾷ θεῶν ἡμᾶς ἀγωνιζομένους
περὶ τῶν δικαίων.'

**28.** Δάκρυα πολλοῖς ἐπῆλθεν ἡμῶν, ὦ Ἀρχίδαμε, πρὸς
τοὺς λόγους τἀνδρός, αὐτὸς δ' ἄδακρυς καὶ ἄτεγκτος
ἐγχειρίσας Πελοπίδᾳ τὸν υἱὸν ἐχώρει διὰ θυρῶν δε-
ξιούμενος ἕκαστον ἡμῶν καὶ παραθαρρύνων. ἔτι δὲ μᾶλλον
ἂν ἠγάσω τοῦ παιδὸς αὐτοῦ τὴν φαιδρότητα καὶ τὸ ἀδεὲς
E πρὸς τὸν κίνδυνον, ὥσπερ τοῦ Νεοπτολέμου, μήτ' ὠχριά-
σαντος μήτ' ἐκπλαγέντος, ἀλλ' ἕλκοντος τὸ ξίφος τοῦ
Πελοπίδου καὶ καταμανθάνοντος. ἐν τούτῳ †Κηφισοδώρῳ